ρον καὶ λαμπρότερον δημηγορεῖν ἢ λέγειν μακρότερόν τινα λόγον. Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ.] φησὶν ἡ γυνή, ἐγὼ προῆλθον λέξειν ὦ γυναῖκες θεσμοφοριάζουσαι οὐκ ἐπὶ τῷ τιμᾶσθαι, οὐδὲ φιλοδοξίας τινὸς χάριν, ἀλλὰ ἐπὶ κοινῷ ἀγαθῷ ἡμῶν πασῶν γυναικῶν. μιμεῖται δὲ ἐν τούτῳ ὁ Ἀριστοφάνης τοὺς παλαιοὺς ῥήτορας. ἐκεῖνοι γὰρ ἀρχόμενοι τῶν λόγων, ὥστε μᾶλλον αὐτοῖς προσέχειν τοὺς ἀκροατάς, καὶ πίστιν ἐκείνοις μείζονα ἐμβάλλειν, ἐπιμαρτύρονται τοὺς θεούς, ὡς μάρτυρας ἐσομένους, ὅτι οὐκ ἐπ' ἔχθρᾳ, φιλίᾳ, ἢ φιλοτιμίᾳ τινὶ λέγειν ἤρχοντο, ἀλλὰ ἐπὶ τῷ συμφέροντι καὶ σωτηρείᾳ τῆς πολιτείας ἐν ᾗ διατρίβουσιν, ὡς ὁ Δημοσθένης ἐν τῷ περὶ στεφάνου καὶ ἐν τῷ τῶν Φιλιππικῶν τετάρτῳ. Προπηλακιζομένας.] ὑβριζομένας, κατηγορουμένας, κακολογουμένας τε. Τοῦ τῆς λαχανοπωλητρίας.] ὁ ποιητὴς ἀεὶ ὀνειδίζει καὶ καταχλευάζει τὸ τῆς Εὐριπίδου μητρὸς διὰ ταύτην τὴν βάναυσον καὶ ῥυπαρὰν τέχνην ἐργασίαν τε τοῦ λάχανα πωλεῖν, καὶ ἀεὶ καταγελῶν τοῦ Εὐριπίδου χρῆται τοῖς ῥήμασι φρονοῦσι, ὄζουσί τε ταύτης τῆς λαχανοπωλίας.

¿ BISETVS. Περίθου νυν.] ἤγουν τὸν στέφανον. τὸν στέφανον λαβὲ, καὶ τῇ σου κεφαλῇ περίθες. ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον. περίθου δὲ, ὅπερ ἡμῖν σύνηθες ἐπιθοῦ λέγειν. Σίγα. σιώπα.] οὗτοι οἱ δύο στίχοι εἰσὶν ἰαμβικοὶ τετράμετροι καταληκτικοί. τὸ δὲ χρέμπτεται δηλοῖ τὸ φλέγμα ἐκπτύει ἐκ τοῦ στήθους καὶ τοῦ στόματος, ὅπερ οἱ λέγειν μέλλοντες, ἵνα λαμπρότερον φωνῶσι, ποιεῖν εἰώθασι, νῦν δὲ τῶν ῥητόρων καθάπτεται, καὶ καταγελᾷ. τὸ δὲ ποοῦσι, ἀντὶ τοῦ ποιοῦσι, μέτρου χάριν, ποιητικόν. Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ.] αὕτη ἡ πρώτη γυνὴ μακρᾷ δημηγορείᾳ τοῦ Εὐριπίδου κατηγορεῖ, καὶ πικροτάτης τιμωρείας, καὶ θανάτου ἄξιον εἶναι ἀποφαίνει. τὴν δὲ τούτων αἰτίαν δηλοῖ, ὅτι τὰς γυναῖκας ἀεὶ προπηλακίζει, καὶ κακῶς λέγει. εἰσὶ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ν'. ὧν ὁ τελευταῖος, Τὰ δ' ἄλλα μετὰ τοῦ συγγραμματέως συγγράψωμαι. Προπηλακιζομένας] προπηλακίζειν, ἀδικεῖν, ὑβρίζειν, διασύρειν, ἐξουθενοῦν, καὶ προπηλακισμός, ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχρίεσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι. Σ.

| | | |
|---|---|---|
| Τί γὰρ οὗτος ἡμᾶς οὐκ ἐπισμῇ τῶν κακῶν; | C | *Quo enim iste nos non inspergit conuiciorum?* |
| Ποῦ δ' οὐχὶ διαβέβληχ' ὅπουπερ ἐν βραχὺ | | *Vbi verò non vituperauit? vbi quidem in breui & paruo* |
| Εἰσὶν θεαταὶ καὶ τραγῳδοὶ καὶ χοροί. | | *Sunt spectatores & Tragœdi & chori,* |
| Τὰς μυχοτρόπους. τὰς ἀνδρεραστρίας καλῶν. | | *Dolosas & mores occultantes: meretrices appellans* |
| Τὰς οἰνοπότιδας. τὰς προδότιδας. τὰς λάλους. | | *Vinolentas, proditrices, loquaces,* |
| Τὰς οὐδὲν ὑγιές. τὰς μέγ' ἀνδράσι κακόν. | D | *Nihil sanum vel bonum, magnum viris malum.* |
| Ὥς' εὐθὺς εἰσιόντες ἀπὸ τῶν ἰκρίων | | *Quare statim ingredientes à tabulatis theatri* |
| Ὑποβλέπουσ' ἡμᾶς σκοποῦνταί τ' εὐθέως | | *Torue aspiciunt nos, explorantq́ue protinus,* |
| Μὴ μοιχὸς ἔνδον ᾖ τις ἀποκεκρυμμένος. | | *Num mœchus intus sit aliquis occultatus.* |
| Δρᾶσαι δ' ἔθ' ἡμῖν οὐδὲν ὥσπερ καὶ πρὸ τοῦ | | *Facere autem amplius nobis nihil quemadmodum & antehac* |
| Ἔξεστι. τοιαῦθ' οὗτος ἐδίδαξεν κακὰ | | *Licet. Talia iste docuit mala* |
| Τοὺς ἄνδρας ἡμῶν ὥς' ἐάν τις πλέκῃ | E | *Viros nostrûm, vt si aliqua texat* |
| Γυνὴ στέφανον, ἐρᾶν δοκεῖ. κἂν ἐκβάλῃ | | *Mulier coronam, amare videatur. & si eiecerit* |
| Σκεῦός τι κατὰ τὴν οἰκίαν πλανωμένη, | | *Vasculum aliquod per domum errans,* |
| Ἀνὴρ ἐρωτᾷ τῷ κατέαγεν ἡ χύτρα | | *Maritus interrogat, cuinam fracta est olla?* |
| Οὐκ ἔσθ' ὅπως οὐ τῷ Κορινθίῳ ξένῳ. | | *Non est, quomodo non Corinthio hospiti.* |
| Κάμνει κόρη τίς; εὐθὺς ἀδελφὸς λέγει. | | *Laborat morbo virgo aliqua. statim frater dicit,* |
| Τὸ χρῶμα τοῦτό μ' οὐκ ἀρέσκει τῆς κόρης. | | *Color hic mihi non placet puellæ.* |
| Εἶεν, γυνή τις ὑποβαλέσθαι βούλεται, | F | *Esto, mulier aliqua supponere vult,* |
| Ἀποροῦσα παίδων. οὐδὲ τοῦτ' ἔστιν λαθεῖν. | | *Carens filijs: ne hoc quidem licet occultum esse,* |
| Ἄνδρες γὰρ ἤδη παρακάθηνται πλησίον. | | *Viri enim iam assident propè.* |
| Πρὸς τοὺς γέροντάς θ', οἳ πρὸ τοῦ τὰς μείρακας | | *Adsenesq́ue, qui antehac puellas* |
| Ἤγοντο, διαβέβληκεν. ὥς' οὐδεὶς γέρων | | *Ducebant, vituperauit, vt nullus senex* |
| Γαμεῖν θέλει γυναῖκα διὰ τοὔπος τοδί. | | *Ducere velit uxorem propter carmen hoc,* |
| Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή. | | *Domina enim seni sponso vxor.* |
| Εἶτα διὰ τοῦτο ταῖς γυναικωνίτισιν | | *Deinde ob id mulieribus cubiculis* |
| Σφραγῖδας ἐπιβάλλουσιν ἤδη καὶ μοχλούς | G | *Signacula inijciunt, & obsignant iam & pessulos,* |
| Τηροῦντες ἡμᾶς, καὶ προσέτι Μολοττικοὺς | | *Obseruantes nos, & insuper molossos* |

BOVRDINVS. Ἐπισμῇ τῶν κακῶν.] τί γὰρ τῶν κακῶν φησὶν ὁ ποιητής, οὗτος οὐκ ἐμβάλλει καὶ καταπλύνει ἡμῶν καὶ τίνα λοιδορίαν, οὐκ ἐπιλοιδορεῖ. τί οὗτος οὐ προφέρει ἀδικημάτων καθ' ἡμῶν. ἐπισμεῖν δὲ κυρίως